## 28. THE HEALING OF A PARALYTIC (Matt-Mk Identical)

| Matt 9:1-8 | Mark 2:1-12 |
|---|---|
| *Καὶ ἐμβὰς εἰς πλοῖον* | |
| *διεπέρασεν καὶ ἦλθεν* | *Καὶ εἰσελθὼν πάλιν* |
| *εἰς τὴν ἰδίαν πόλιν.* | *εἰς Καφαρναοὺμ* |
| | *δι ἡμερῶν* |
| | *ἠκούσθη ὅτι ἐν οἴκῳ ἐστίν.* |
| | *2 καὶ συνήχθησαν πολλοὶ* |
| | *ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ* |
| | *πρὸς τὴν θύραν,* |
| | *καὶ ἐλάλει αὐτοῖς τὸν λόγον.* |
| *2 καὶ ἰδοὺ προσέφερον αὐτῷ* | *3 καὶ ἔρχονται φέροντες πρὸς αὐτὸν* |
| *παραλυτικὸν* | *παραλυτικὸν* |
| *ἐπὶ κλίνης βεβλημένον.* | *αἰρόμενον ὑπὸ τεσσάρων.* |
| | *4 καὶ μὴ δυνάμενοι* |
| | *προσενέγκαι αὐτῷ* |
| | *διὰ τὸν ὄχλον* |
| | *ἀπεστέγασαν τὴν στέγην* |
| | *ὅπου ἦν, καὶ ἐξορύξαντες* |
| | *χαλῶσι τὸν κράβαττον* |
| | *ὅπου ὁ παραλυτικὸς κατέκειτο.* |
| *καὶ ἰδὼν ὁ Ἰησοῦς* | *5 καὶ ἰδὼν ὁ Ἰησοῦς* |
| *τὴν πίστιν αὐτῶν* | *τὴν πίστιν αὐτῶν* |
| *εἶπεν τῷ παραλυτικῷ,* | *λέγει τῷ παραλυτικῷ,* |
| *Θάρσει, τέκνον·* | *Τέκνον,* |
| *ἀφίενταί σου αἱ ἁμαρτίαι.* | *ἀφίενταί σου αἱ ἁμαρτίαι.* |
| *3 καὶ ἰδού τινες* | *6 ἦσαν δέ τινες* |
| *τῶν γραμματέων* | *τῶν γραμματέων ἐκεῖ καθήμενοι* |

| Matt 9:1-8 | Mark 2:1-12 |
| --- | --- |
| εἶπαν | καὶ διαλογιζόμενοι |
| ἐν ἑαυτοῖς, | ἐν ταῖς καρδίαις αὐτῶν, |
| Οὗτος | 7 Τί οὗτος οὕτως λαλεῖ |
| βλασφημεῖ. | βλασφημεῖ· |
| | τίς δύναται ἀφιέναι ἁμαρτίας |
| | εἰ μὴ εἷς ὁ θεός |
| ·4 καὶ ἰδὼν ὁ Ἰησοῦς | 8 καὶ εὐθὺς ἐπιγνοὺς ὁ Ἰησοῦς |
| | τῷ πνεύματι αὐτοῦ |
| τὰς ἐνθυμήσεις αὐτῶν | ὅτι οὕτως διαλογίζονται |
| | ἐν ἑαυτοῖς |
| εἶπεν, | λέγει αὐτοῖς, |
| Ἱνατί ἐνθυμεῖσθε πονηρὰ | Τί ταῦτα διαλογίζεσθε |
| ἐν ταῖς καρδίαις ὑμῶν | ἐν ταῖς καρδίαις ὑμῶν |
| 5 τί γάρ ἐστιν εὐκοπώτερον, | 9 τί ἐστιν εὐκοπώτερον, |
| εἰπεῖν, | εἰπεῖν τῷ παραλυτικῷ, |
| Ἀφίενταί σου αἱ ἁμαρτίαι, | Ἀφίενταί σου αἱ ἁμαρτίαι, |
| ἢ εἰπεῖν, Ἔγειρε | ἢ εἰπεῖν, Ἔγειρε |
| | καὶ ἆρον τὸν κράβαττόν σου |
| καὶ περιπάτει | καὶ περιπάτει |
| 6 ἵνα δὲ εἰδῆτε ὅτι | 10 ἵνα δὲ εἰδῆτε ὅτι |
| ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου | ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου |
| ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας-- | ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς-- |
| τότε λέγει τῷ παραλυτικῷ, | λέγει τῷ παραλυτικῷ, |
| Ἔγειρε | 11 Σοὶ λέγω, ἔγειρε |
| ἆρόν σου τὴν κλίνην | ἆρον τὸν κράβαττόν σου |
| καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. | καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. |
| 7 καὶ ἐγερθεὶς | 12 καὶ ἠγέρθη καὶ εὐθὺς |
| | |
| | ἄρας τὸν κράβαττον |
| ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. | ἐξῆλθεν |
| | ἔμπροσθεν πάντων, |
| | |
| 8 ἰδόντες δὲ | |
| οἱ ὄχλοι ἐφοβήθησαν | ὥστε ἐξίστασθαι |
| | πάντας |
| καὶ ἐδόξασαν τὸν θεὸν | καὶ δοξάζειν τὸν θεὸν |
| | |
| | λέγοντας ὅτι |
| | Οὕτως οὐδέποτε εἴδομεν. |

| Matt 9:1-8 | Mark 2:1-12 |
| --- | --- |
| *τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.* | |

126 agreements out of 320 words = 39%